eul_wid: jym-aa

*Ἀνώνυμοι ἡρωικοὶ στίχοι* · Heroic Verses Anonymous

## Heroic Verses

*Ἡρωικοὶ Στίχοι*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric) (frg)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 1 I, II. Hippocrates περὶ ἄρθρων ἐμβολῆς 8.

book 2 Mochlicon 5 ὦμος δὲ ἐκπίπτει κάτω· . . . οἷον καὶ βουσὶ χειμῶνος φαίνεται διὰ λεπτότητα . . . τό τε Ὁμήρειον καὶ διότι λεπτότατοι βόες τηνικαῦτα.

book 3 III. Plat. Gorg. 516 C οὐκοῦν οἵ γε δίκαιοι ἥμεροι, ὡς ἔφη Ὅμηρος.

book 4 IV. Xen. Sympos. viii. 30 καὶ ἐγὼ δέ φημι καὶ Γανυμήδην οὐ σώματος ἀλλὰ ψυχῆς ἕνεκα ὑπὸ Διὸς εἰς Ὄλυμπον ἀνενεχθῆναι. μαρτυρεῖ δὲ τοὔνομα αὐτοῦ· ἔστι μὲν γὰρ δήπου καὶ Ὁμήρῳ γάνυται δέ τ’ ἀκούων· τοῦτο δὲ φράζει ὅτι ἥδεται δέ τ’ ἀκούων. ἔστι δὲ καὶ ἄλλοθί που πυκινὰ φρεσὶ μήδεα εἰδώς· τοῦτο δ’ αὖ λέγει σοφὰ φρεσὶ βουλεύματα εἰδώς. auctor seu cyclici carminis seu hymni figura ludit etymologica.

book 5 V. Plato Phaedr. 252 B λέγουσι δέ, οἶμαι, τινὲς Ὁμηριδῶν ἐκ τῶν ἀποθέτων ἐπῶν δύο ἔπη εἰς τὸν Ἔρωτα, ὧν τὸ ἕτερον ὑβριστικὸν πάνυ καὶ οὐ σφόδρα τι ἔμμετρον· ὑμνοῦσι δὲ ὧδε· τὸν δ’ ἤτοι θνητοὶ μὲν Ἔρωτα καλοῦσι ποτηνόν, ἀθάνατοι δὲ Πτέρωτα διὰ πτερόφοιτον ἀνάγκην. unde hos versus traxerit Plato incertum : hymnum sapere nobis visi sunt C. Q. 1907. 136.

book 6 VI. Aeschines i. § 128 καὶ οὕτως ἐναργές ἐστι καὶ οὐ πεπλασμένον ὃ λέγω ὥσθ’ εὑρήσετε καὶ τοὺς προγόνους φήμης ὡς θεοῦ μεγίστης βωμὸν ἱδρυμένους, καὶ τὸν Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι φήμη δ’ ἐς στρατὸν ἦλθε.Dem. Epitaph. 29 v. Iliu pers. IV; Aristoph. Pac. 1282, 1283, 1286, 1287 v. p. 116.

book 7 VII. schol. T Ω 420 ἀδύνατον νεκρῶν τραύματα μύειν, ὥς φησιν Ἀριστοτέλης (fr. 159 Rose) εἰρηκέναι Ὅμηρον μῦσεν δὲ περὶ βροτόεσσ’ ὠτειλή. τοῦτο δὲ τὸ ἡμιστίχιον οὐ φέρεται. verissime scholiasta.

book 8 VIII. Ar. de An. I. c. 2. 404 A 25 ὁμοίως δὲ καὶ Ἀναξαγόρας ψυχὴν εἶναι λέγει τὴν κινοῦσαν, καὶ εἴ τις ἄλλος εἴρηκεν ὡς τὸ πᾶν ἐκίνησε νοῦς, οὐ μὴ παντελῶς γ’ ὥσπερ Δημόκριτος (§ 100 Diels). ἐκεῖνος μὲν γὰρ ἁπλῶς ταὐτὸν ψυχὴν καὶ νοῦν· τὸ γὰρ ἀληθὲς εἶναι τὸ φαινόμενον· διὸ καλῶς ποιῆσαι τὸν Ὅμηρον ὡς Ἕκτωρ κεῖτ’ ἀλλοφρονέων.

book 9 IX, X, XI. Ar. Eth. Nic. iii. 8. 1116 B 26 ἰτητικώτατον γὰρ ὁ θυμὸς πρὸς τοὺς κινδύνους, ὅθεν καὶ Ὅμηρος σθένος ἔμβαλε θυμῷ καὶ μένος καὶ θυμὸν ἔγειρε καὶ δριμὺ δ’ ἀνὰ ῥῖνας μένος ‹ω 318, 319 ordine turbato› καὶ ἔζεσεν αἷμα.

book 12

XII. Chrysippus ap. Galen. de plac. Hipp. et Plat. iii. 115 πρῆσεν ἐνὶ στήθεσφιν ἐρισθενέος Διὸς ἀλκὴν γνωμέναι.

book 13 XIII. idem ib. τότε δὴ στηθέων θ’ ἅμα φρένας ἐξέλετο Ζεύς emendatio incerta. cf. P 470 Z 234 T 137.

book 14 XIV. idem ib. ἄλλο δ’ ἐνὶ στήθεσσι νόος καὶ μῆτις ἀμύμων.

book 15 XV. Plutarchus vit. Hom. ii. 23 ἔστι δὲ καὶ ἄλλος τρόπος ἡ μετωνυμία . . . οἷόν ἐστι παρ’ αὐτῷ ἦμος ὅτ’ αἰζηοὶ Δημήτερα κωλοτομεῦσι idem de Iside et Osiride 66, 377 D ποιητὴς δέ τις ἐπὶ τῶν θεριζόντων τῆμος ὅτ’ αἰζηοὶ Δημήτερα κωλοτομεῦσιν.

book 16 XVI. Plut. vit. Hom. ii. 20

book 17 XVII. idem ii. 55 τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ δωρήσω τρίποδα χρυσούατον ἀντὶ τοῦ δωρήσομαι.

book 18 XVIII. schol. in Lycophr. 86 λεύσσω θέοντα γρυνόν] ... γρυνὸν δὲ εἶπε τὸν Ἀλέξανδρον κατὰ μετωνυμίαν καλέσας· γρυνὸς γάρ ἐστιν ὁ κορμός· καὶ Ὅμηρος γρυνοὶ μὲν δαίοντο μέγας δ’ Ἥφαιστος ἀνέστηεundem versum Etym. magn. 241. 45 sed γρουνοί.

book 19 XIX. Ammonius περὶ διαφορᾶς ὀνομάτων in v. οὗτος οὗτος τοι Διομήδης.

book 20 XX. id. in v. λῃτουργεῖν λήιτον ἀμφεπένοντο.

book 21 XXI. Galenus in Hippocr. περὶ ἀγμῶν ii. 70

book 22 XXII. Ammonius in Porph. isag. prooem. 4 r. 30 (ed. Busse, p. 9) καὶ ὁ ποιητὴς ἐπεὶ σοφὸς ἤραρε τέκτων.

book 23 XXIII. Servius in Verg. Aen. xii. 691 striduntque hastilibus aurae] Homerus συρίζουσα ΜΑΚΕΛΟΝ ΙΣΙΤΙΤΑΤΕ λόγχηconicias μακεδνόν (auctori idem quod μακρόν) et ἵστατο vel ἵπτατο.

book 24 XXIV. Probus in Verg. Georg. ii. 506 Tyron enim Sarram appellatam Homerus docuit.

book 25 XXV. Suidas θωύσσοντες· ὑλακτοῦντες. Ὅμηρος βαρύβρομα θωύσσοντες.

book end His versibus, quorum hi pro variis lectionibus Homericis habendi videntur esse, hi e cyclo vel hymnis orti, illi adiciendi sunt quos scriptor vitae Herodoteae nescio unde decerpsit.